## 03 MARTIE
## ANTONIOS MARKOU

# SLUJBA SF.CUVIOS GHENADIE TZEKAKIS DE LA CRETA




## MINEIUL PE MARTIE–GR


ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

# 03 Μαρτίου
# Ἀκολουθία
# Ὁσίου ΓΕΝΝΑΔΙΟΥ τοῦ Κρητός

## ΕΝ ΤΩ ΜΕΓΑΛῼ ΕΣΠΕΡΙΝῼ

Εὐλογήσαντος τοῦ Ἱερέως ὁ Προοιμιακός καί τό Μακάριος ἀνήρ. Εἰς δέ τό Κύριε ἐκέκραξα ἱστῶμεν στίχους στ΄ καί ψάλλομεν Στιχηρά Προσόμοια. Ἦχος β΄. Ὅτε ἐκ τοῦ ξύλου.

Ὅτε, ἐκ νεότητος Θεῷ,* Ὅσιε, ζεούσῃ καρδίᾳ* κατηκολούθησας,* τότε κόσμου ἔλειπες τήν ματαιότητα* καί δρομαῖος ἐχώρησας* πρός θείους ἀγώνας·* Ἄννης Θεομήτορος ναόν δέ ᾤκησας,*
ἔνθα τήν καρδίαν καθάρας,* γέγονας δοχεῖον χαρίτων* καί τῶν δωρεῶν, Γεννάδιε, τοῦ Πνεύματος.

Ἄννης Θεομήτορος ναός,* γέγονεν ἡ σύ κατοικία,* ἔνθα ἠξίωσαι,*
πᾶσαν τοῦ ἀλάστορος βαλλεῖν τήν δύναμιν* καί δοχεῖο ν τοῦ Πνεύματος* ἐγένου καί πάντων* ἱερόν παράδειγμ α ἐδείχθης, Ἅγιε·* ὅθεν Ὀρθοδόξων τά πλήθη* χαίροντα κραυγάζουσι,
Πάτερ,* πρόφθασον πρεσβείαις σου, Γεννάδιε.

Ἔνθεος ἐδείχθης μιμητής,*
τῶν σῶν ἐξαιρέτων προτύπων,* τοῦ Εὐμενίου τε* Παρθενίου Γέροντος,* τῶν Κουδουμᾶ μοναστῶν,* ὧν τήν χάριν ἐκέκτησο* καί τούτων τήν θέαν* ἀπολαύ εις σήμερον* ἐν οὐρανοῖς παροικῶν·* ὅθεν σοῦ δεόμεθα, Πάτερ,* τῆς τοῦ Παραδείσου εὐκλείας,* τυχεῖν ἡμᾶς εὐχαῖς σου καί δεήσεσιν.

Ἕτερα. Ἦχος πλ. β'. Ὅλην ἀποθέμενοι.

Πᾶσαν κακοπάθειαν* διὰ Χριστὸν ὑπομείνας,* ἐν τῷ κοινοβίῳ μέν* καὶ εἰς γῆν τὴν ἔρημον* καὶ τὴν ἄβατον,* ὁ θεῖος Γεννάδιος,* ὁ Χριστοῦ Ὅσιος,* πρὸς Θεὸν νῦν ἐξεδήμησε* τρυφὴν τὴν ἄληκτον* ἐν τῷ Παραδείσῳ πεπλούτηκε·* διὸ καὶ μετὰ θάνατον* τῆς θυματουργίας ἠξίωται,* δι' αὐτοῦ λειψάνου* ἰᾶται τοὺς προστρέχοντας αὐτῷ* καὶ τῷ Σωτῆρι πρεσβεύει νῦν* ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ὅλος ἐνθεώτατος* καὶ θεοφόρος ἐδείχθης,* Ὅσιε Γεννάδιε,* σεαυτὸν τῷ Κτίστῃ σου ἀναθέμενος* καὶ πολλῶν μέτοχος* θείων χαρισμάτων,* σαρκικὸν νεκρώσας φρόνημα* καθάπερ Ἄγγελος* ἔζησας τῷ κόσμῳ μακάριε·* ἐντεῦθεν Ὀρθοδόξων σε* δῆμοι ὑποφήτην θεόσοφον,* βίου ἀνωτέρου* κτησάμενοι καὶ τύπον ἀπλανῆ* χρεωστικῶς ἑορτάζομεν * τὴν ἁγίαν μνήμην σου

Φῶς τὸ θεῖον Ὅσιε* ἀπό παιδός θεοφόρε,* καταλάμψαν ἔδειξεν* ἄστρον φαεινότατον βίου κρείττονος·* ἀρετῶν ὤφθης γάρ* θαυμαστὸς ἐργάτης,* τῶν γηΐνων ἀφιστάμενος* πόνοις ἀσκήσεως* καὶ πρὸς οὐρανὸν ἀνυψούμενος* καὶ ταῖς ἐκεῖθεν λάμψεσι* πάντας καταυγάζων ἑκάστοτε,* Γεννάδιε Πάτερ,* Ὁσίων ἐγκαλλώπισμα σεπτόν* καὶ τῶν Ἀγγέλων ἐφάμιλλε* βίου καθαρότητι.

Δόξα. Ἦχος α'.

Ἀσκήσεως πόνοις ἐκγυμνασάμενος,* ἀληθῶς Ὅσιος ἐγένου* καὶ Ποιμήν ἀληθής* τοῦ εὐσεβοῦντος λαοῦ·* ἐπιπνοίᾳ δέ τοῦ Πνεύματος,* Γεννάδιε μακάριε,* Ἀκουμίων ἔρημου ἐγένου οἰκιστής,* ἔνθα παρά τῷ τῆς Ἄννης τῆς Θεομήτορος ἐξωκκλησίῳ* ἐρημιτικῶς ᾤκησας.* Πρός Δεσπότην τόν Σωτῆρα οὖν* μή παύεις αἰτούμεθα* τοῦ πρεσβεύειν, Πάτερ,* ἵνα ῥύσηται ἡμᾶς πάσης θλίψεως.

Καὶ νῦν. Θεοτοκίον ὁμόηχον.

Εἴσοδος, Φῶς ἱλαρόν, Προκείμενον τῆς ἡμέρας, Ἀναγνώσματα.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα (Κεφ. γ΄ 1 - 9).

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν καὶ ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα· οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ· ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσιν καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται· κρινοῦσιν ἔθνη καὶ κρατήσουσι λαῶν καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ' Αὐτῷ, συνήσουσιν ἀλήθειαν καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν Αὐτῷ· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς Ὁσίοις Αὐτοῦ καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς Αὐτοῦ.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα (Κεφ. ε΄ 15 - στ΄ 3).

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν παρὰ Ὑψίστου. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου· ὅτι τῇ δεξιᾷ Αὐτοῦ σκεπάσει αὐτούς καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν τὸν ζῆλον Αὐτοῦ καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν· ἐνδύσεται θώρακα δικαιοσύνην καὶ περιθήσεται κόρυθα, κρῖσιν ἀνυπόκριτον· λήψεται ἀσπίδα ἀκαταμάχητον ὁσιότητα·

ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαίαν· συνεκπολεμήσει δὲ Αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας. Πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν καὶ ὡς ἀπὸ εὐκύκλου τόξου, τῶν νεφῶν, ἐπὶ σκοπὸν ἁλοῦνται, καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι· ἀγανακτήσει κατ' αὐτῶν ὕδωρ θαλάσσης, ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως· ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως καὶ ὡς λαίλαψ ἐκλικμήσει αὐτούς καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν βασιλεῖς καὶ σύνετε· μάθετε δικασταὶ περάτων γῆς· ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν· ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

Παροιμιῶν τὸ Ἀνάγνωσμα (Κεφ. ι' 7, γ' 13).

Μνήμη δικαίου μετ' ἐγκωμίων καὶ εὐλογία Κυρίου ἐπὶ κεφαλὴν αὐτοῦ. Μακάριος ἄνθρωπος, ὃς εὗρε σοφίαν καὶ θνητὸς ὃς οἶδε φρόνησιν. Κρεῖσσον γὰρ αὐτὴν ἐμπορεύεσθαι ἢ χρυσίου καὶ ἀργυρίου θησαυρούς. Τιμιωτέρα δὲ ἐστι λίθων πολυτελῶν· πᾶν δὲ τίμιον, οὐκ ἄξιον αὐτῆς ἐστιν. Ἐκ γὰρ τοῦ στόματος αὐτῆς ἐκπορεύεται δικαιοσύνη, νόμον δὲ καὶ ἔλεον ἐπὶ γλώσσης φορεῖ. Τοιγαροῦν ἀκούσατέ μου, ὦ τέκνα· σεμνὰ γὰρ ἐρῶ καὶ μακάριος ἄνθρωπος, ὃς τὰς ἐμὰς ὁδοὺς φυλάξει. Αἱ γὰρ ἔξοδοί μου, ἔξοδοι ζωῆς καὶ ἑτοιμάζεται θέλησις παρὰ Κυρίου. Διὰ τοῦτο παρακαλῶ ὑμᾶς καὶ προΐεμαι ἐμὴν φωνὴν υἱοῖς ἀνθρώπων. Ὅτι ἐγὼ ἡ σοφία κατεσκεύασα βουλήν καὶ γνῶσιν καὶ ἔννοιαν ἐγὼ ἐπεκαλεσάμην. Ἐμὴ βουλὴ καὶ ἀσφάλεια, ἐμὴ φρόνησις, ἐμὴ δὲ ἰσχύς. Ἐγὼ τοὺς ἐμὲ φιλοῦντας ἀγαπῶ, οἱ δὲ ἐμὲ ζητοῦντες εὑρήσουσι χάριν. Νοήσατε τοίνυν ἄκακοι πανουργίαν, οἱ δὲ ἀπαίδευτοι ἔνθεσθε καρδίαν. Εἰσακούσατέ μου καὶ πάλιν· σεμνὰ γὰρ ἐρῶ καὶ ἀνοίγω ἀπὸ

χειλέων ὀρθά. Ὅτι ἀλήθειαν μελετήσει ὁ λάρυγξ μου, ἐβδελυγμένα δὲ ἐναντίον ἐμοῦ χείλη ψευδῶν. Μετὰ δικαιοσύνης πάντα τὰ ῥήματα τοῦ στόματός μου, οὐδὲν ἐν αὐτοῖς σκολιόν, οὐδὲ στραγγαλιῶδες. Πάντα εὐθέα ἐστὶ τοῖς νοοῦσι καὶ ὀρθὰ τοῖς εὑρίσκουσι γνῶσιν. Διδάσκω γὰρ ὑμῖν ἀληθῆ, ἵνα γένηται ἐν Κυρίῳ ἡ ἐλπὶς ὑμῶν καὶ πλησθήσεσθε Πνεύματος.

Εἰς τήν Λιτήν, Ἰδιόμελα.

Ἦχος α'.

Εὐφραίνου ἐν Κυρίῳ* Κρήτη ἡρωοτόκε,*ὡς μήτηρ καλλίγονος*ἐπί τῷ τέκνῳ σου Γενναδίῳ εὐφραινομένῃ.* Ἐκ σοῦ γάρ ἐβλάστησεν* ὁ εἰς ἔπαινον προκείμενος,* Γεννάδιος ὁ τῶν Ἀκουμίων ἀσκητής.*
Οὗτος γάρ Ἄννης τῆς Θεοπρομήτορος* τό ναΐσκῳ οἰκή σας,* τῇ ἀσκήσει τῶν Μοναστῶν* τόν χορόν ἐκόσμησεν,* τοῖς ἔργοις τῆς ἀσκ ήσεως.* Αὐτοῦ οὖν τήν μνήμην ἑορτάζοντες,* εὐφροσύνως πρός Κύριον* τόν Θεόν βοῶμεν·* τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ Σου ἐθαυμάστωσας Χριστέ,* ὧν τάς ἱκεσίας δέχου, Πολυέλεε.

Ἦχος β'.

Ἐν τοῖς Ἁγίοις αὐτῆς καυχᾶται* Κρήτη ἡ ἔνδοξος ,* ἡ Τίτου τοῦ Ἀποστόλου* Ἐκκλησία καί κλῆρος.* Ἐν τοῖς ἐσχάτοις δέ καιροῖς* καυχᾶται ἐπί Γενναδίῳ* τ όν τῶν Ἀκουμίων ἀσκητήν,* ὅς Παρθενίου καί Εὐμενίου* ἔτυχεν μαθητής,*
τῶν τῆς Κουδουμᾶ Μονῆς κτιτόρων.*
Αὐτοῖς οὖν βοήσωμεν πιστοί·*
Κύριον τόν Θεόν Πατέρες ἱκετεύσατε,*

ἵνα ἀπαλλάττῃ πειρασμῶν καί κινδύνων* τούς πίστει τελοῦντας* ὑμῶν τά μνημόσυνα.

Ἦχος γ'.

Παρθένιος μέν ἐν Κουδουμᾶ,* μέγας τῶν μοναστῶν διδάσκαλος ἐφάνη·* Γεννάδιος δέ ἐν Ἀκουμίοις,* τούτῳ ἀκολουθῶν* καί τήν ψυχήν τρωθείς θείῳ ἔρωτι,* βιαστής ἐφάνη τοῦ λαβεῖν Παράδεισον.* Διό μόνος μόνῳ τῷ Θεῷ ἐνατενίζων,* ἐρημίας οἰκιστής ἐγένετο.* Ὅτε δέ κόσμος αὐτόν ἐγνώρισεν* καί πάλιν ἐρημίας ἐραστής παρέμεινεν.* Ὡς Παρθενίου ἔνθεν ὁμότροπον* καί Εὐμενίου ὁμόζηλον,* τιμήσωμεν αὐτόν οἱ πιστοί,* αἰτούμενοι τήν αὐτοῦ πρεσβείαν,* εἰς τό τυχεῖν ἀφέσεως.

Δόξα. Ἦχος πλ. β'.

Ἀσκητικῆς ἐραστής* γενόμενος πολιτείας,* ἀσκητικῶν ἀγώνων* τῷ σταδίῳ διέπρεψας,* διά νηστείας τε καί ἀγρυπνίας* καί προσευχῆς ἀδιαλείπτου* καί παννυχίου στάσεως, Πατήρ ἡμῶν Ὅσιε,* δι' ὧν τά πάθη ἐνέκρωσας* καί δοχεῖον τοῦ Πνεύματος ἐγένου.* Ὅθεν, μακάριε Γεννάδιε,* σύν πᾶσι τοῖς ἐν Κρήτῃ διαλάμψασι Ἁγίοις,* τόν Κύριον ἱκετεύσατε,* λαβεῖν εὐχαῖς ὑμῶν καί πρεσβείαις,* παρ' Αὐτοῦ τό μέγα ἔλεος.

Καί νῦν. Θεοτοκίον ὁμόηχον.

Εἰς τόν Στίχον. Ἦχος πλ. α'. Χαίροις ἀσκητικῶν.

Χαίροις,* ἡ τῶν Ὁσίων λαμπάς,* τῶν ἀρετῶν τό καθαρόν καταγώγιον,* ἀστήρ ὁ τῇ φωταυγίᾳ* καθοδηγόν πρός τό φῶς* καὶ ζωῆς τῆς θείας τὴν λαμπρότητα·* Γεννάδιε

κάλλιστε,* ἀσκητῶν ἀκροθίνιον,* ἐν τοῖς ἐσχάτοις* προφητείας ὁ ἔμπλεως,* θείου Πνεύματος* τό εὐάρμοστον ὄργανον,* λύχνε τῆς διακρίσεως,* σοφίας κειμήλιον,* ἀσκητικῆς πολιτείας* ὁ θεοφόρος διδάσκαλος·* Χριστὸν ἐκδυσώπει,* ταῖς ψυχαῖς ἡμῶν δοθῆναι* τὸ μέγα ἔλεος.

Στ. *Καυχήσονται Ὅσιοι ἐν δόξῃ καὶ ἀγαλλιάσονται ἐπὶ τῶν κοιτῶν αὐτῶν.*

Χαίροις,* ὁ τῆς Ῥεθύμνης βλαστός,* τὸ τῆς ἀσκήσεως φαιδρὸν ἐγκαλλώπισμα,* Ὁσίων ἡ εὐκοσμία,* ὁ καθαιρέτης ἐχθροῦ,* ὁ στεῤῥῶς ἀσκήσας ὥσπερ ἄσαρκος·* Γεννάδιε ἔνδοξε,* εὐσεβῶν ἀγαλλίαμα,* Εὐαγγελίου* κλῆμα ὄντως τὸ εὔφορον,* προβαλλόμενον* διὰ πόνων ἀσκήσεως,* βότρυας ἀποστάζοντας* τὸ γλεῦκος τῆς χάριτος* καὶ ἀμβροσίας τὸ νέκταρ* πιστῶν εὐφραῖνον τὸ πλήρωμα·* Χριστὸν ἐκδυσώπει* ταῖς ψυχαῖς ἡμῶν δοθῆναι* τὸ μέγα ἔλεος.

Στ. *Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις Αὐτοῦ.*

Χαίροις,* ὁ Παρθενίου υἱός,* ὁ τῶν Ἀγγέλων κοινωνὸς καὶ συνόμιλος,* Ὁσίων ὁ συμπολίτης,* ὡς ἐν ἀσκήσει σκληρᾷ* ἀρετῶν ἐμπρέψας βίῳ κρείττονι·* Πατέρων ὁμότιμε,* ὡς αὐτῶν ἰσοστάσιος* ἐν τῇ ἀσκήσει* ἀναδειχθείς, ἣν ἐξήσκησας* εἰς πάντα βίον,* διὰ πόθον τὸν ἔνθεον·* Γεννάδιε θειότατε,* Χριστοῦ φίλε γνήσιε,* ὁ ἀφ' ἡμῶν ἀπελαύνων* πᾶσαν ἐχθροῦ τὴν ἐπήρειαν* καὶ πᾶσι πρεσβεύων* ἱλασμὸν ἡμῖν δοθῆναι* καὶ θεῖον ἔλεος.

Δόξα. Ἦχος β΄.

Τῶν ἐν βίῳ πραγμάτων κατεφρόνησας* Πάτερ Γεννάδιε,* ὅτε τὴν ἄνω Πολιτείαν ἐπεπόθησας·* πλοῦτον ἐβδελύξω* τὴν πτωχείαν ἐνδυσάμενος·* τὴν τρυφὴν ἐμίσησας* καὶ ἐπεσπάσω ἐγκράτειαν·* ἀδικίαν ἀπεβάλου* καὶ ἐδίωξας δικαιοσύνην.* Διὸ μνημόνευε καὶ ἡμῶν* ἐν ταῖς πρὸς τὸν Κύριον ὁσίαις σου εὐχαῖς,* Πάτερ ὁσιώτατε.

Καὶ νῦν. Θεοτοκίον.

Τὴν πᾶσαν ἐλπίδα μου* εἰς Σὲ ἀνατίθημι,* Μῆτερ τοῦ Θεοῦ,* φύλαξόν με ὑπὸ τὴν Σκέπην Σου.

Νῦν ἀπολύεις, Τρισάγιον, Ἀπολυτίκιον. Ἦχος α'. Τοῦ λίθου σφραγισθέντος.

Γόνον θεῖον τῆς Κρήτης,* Ὀρθοδόξων τό καύχημα,* μοναζόντων τό κλέος,* ἀσκητῶν τό θησαύρισμα,* Γεννάδιον τό θεῖον οἱ πιστοί* τιμῶμεν κατά χρέος,
τῶν αὐτοῦ* χαρίτων οἱ πλουτοῦντες καί δωρεῶν*
κραυγάζοντες πρός Κύριον.* Δόξα τῷ Σέ δοξάσαντι αὐτόν,*
δόξα Σοί τόν αὐτόν θαυμαστώσαντα,*
δόξα Σοι τῷ δωρησαμένῳ αὐτόν ἡμῖν* νέον πρέσβυν ἀκοίμητον.

Ἀπόλυσις.

## ΟΙΣ ΤΟΝ ΟΡΘΡΟΝ

Μετά τήν α' Στιχολογίαν, Κάθισμα. Ἦχος α'. Τόν τάφον Σου, Σωτήρ.

Ἀστήρ ὡς φαεινός * ἐκ τῆς Κρήτης ἐκλάμψας,* φωτί τῶν ἀρετῶν,* θαύμασί και σημείοις,* φωτίζεις τήν ὑφήλιον* ἐξαιρέτως Ἑλλάδαν τε,* ἡμᾶς καλούμενος* ἐπί τῇ θείᾳ σου μνήμῃ* εἰς πανήγυ ριν,* Γεννάδιε θεοφόρε,* πιστῶς τούς τιμῶντας σε.

Δόξα. Τό αὐτό. Καί νῦν. Θεοτοκίον.

Ἁγνή ἡ τόν Θεόν* πάντων τεκοῦσα, τό κλέος* ἡμῶν τῶν εὐσεβῶν* ἡ χαρά καί ἡ δόξα,* μή παύῃς δεόμεθα* ἱκετεύειν Ὅν ἔτεκες,* ἵνα ρύσηται*

ἡμᾶς παθῶν ψυχοφθόρων* καί δωρήσηται* ζωῆς ἀλήκτο υ τόν τόπον,* πρεσβείαις Σου, Πάνσεμνε.

Μετά τήν β' Στιχολογίαν, Κάθισμα. Ἦχος δ'. Ὁ ὑψωθείς ἐν τῷ σταυρῷ.

Τοῦ Κουδουμᾶ τῶν μοναστῶν ὁ ἐξέχων* καί ὁ τῆς Κρήτης εὐκλεέστατος γόνος,* παρά Χριστοῦ πολλήν τήν χάριν ἔλαβεν,* Ὁσίων ἐγκαλλώπισμα,* ὑπόδειγμα μοναστῶν τε* ἀναδέδεικται.* Πάντας οὖν νῦν προσκαλεῖται* μνήμην τελέσαι τήν αὐτοῦ, οὗ ταῖς λιταῖς* σκέπε καί σῶζαι* τούς ὑμνούντας Σε, Κύριε.

Δόξα. Τό αὐτό. Καί νῦν. Θεοτοκίον.

Χαῖρε Κυρία, Ἀειπάρθενε Κόρη,* δαιμόνων φρύαγμα, ἀνθρώπων θεῖος λιμήν τε,* οἱ τοῦ Χριστοῦ ἐνθέως ἀνυμνοῦμεν Σε.* Σπεῦσον, Μήτερ, πρόφθασον,* τῇ μεσιτείᾳ Σου σῶσον,* πάντας τούς προστρέχοντας* τῇ παναχράντῳ Σου σκέπῃ·* ἀπό κινδύνων ῥῦσαι χαλεπῶν* τούς Σέ τιμῶντας, Παρθένε ἀκήρατε.

Μετὰ τὸν Πολυέλεον, Κάθισμα. Ἦχος πλ. α'. Τὸν συνάναρχον Λόγον.

Τῇ ἀσκήσει τὸν βίον σου κατεκόσμησας* καὶ νεκρώσας τὸ σῶμά σου, ἐξηφάνισας* τοῦ Βελίαρ προσβολὰς,* Πάτερ Γεννάδιε·* διό μεσίτης πρὸς Θεόν,* ὡς οὐρανίου τῆς ζωῆς* ὁ ἔνθεος κληρονόμος,* μὴ παύσῃ, Πάτερ, πρεσβεύων,* ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Δόξα. Καὶ νῦν. Θεοτοκίον.

Τῆς σαρκὸς τῇ προσλήψει ἐκ Σοῦ ὁ Ὕψιστος* ὁρατὸς καθωράθη ἡμῖν δι' ἔλεος* καὶ τὴν πτῶσιν τοῦ Ἀδάμ,* Ἁγνὴ, ἠνώρθωσε·* διὰ τοῦτο οἱ πιστοί,* ἀνυμνοῦμέν Σε ἀεί,* ὡς πύλην ζωῆς τῆς θείας* καὶ εἴσοδον σωτηρίας,* τοῖς μεγαλύνουσιν τὸν τόκον Σου.

Οἱ Ἀναβαθμοί· τὸ α' Ἀντίφωνον τοῦ δ' ἤχου.

Προκείμενον. *Τίμιος ἐναντίον Κυρίου, ὁ θάνατος τοῦ Ὁσίου Αὐτοῦ.*

Στ. *Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.*

Εὐαγγέλιον ἐκ τοῦ κατὰ Ματθαῖον (Κεφ. ια' 27-30).

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ Μαθηταῖς· πάντα μοι παρεδόθη ὑπὸ τοῦ Πατρός μου· καὶ οὐδεὶς ἐπιγινώσκει τὸν Υἱὸν εἰ μὴ ὁ Πατήρ· οὐδὲ τὸν Πατέρα τις ἐπιγινώσκει εἰ μὴ ὁ Υἱὸς καὶ ᾧ ἐὰν βούληται ὁ Υἱὸς ἀποκαλύψαι. Δεῦτε πρός με πάντες οἱ κοπιῶντες καὶ πεφορτισμένοι, κἀγὼ ἀναπαύσω ὑμᾶς. Ἄρατε τὸν ζυγόν μου ἐφ' ὑμᾶς καὶ μάθετε ἀπ' ἐμοῦ, ὅτι πρᾷός εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ καὶ εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν· ὁ γὰρ ζυγός μου χρηστὸς καὶ τὸ φορτίον μου ἐλαφρόν ἐστιν.

Ὁ Ν' (50) Ψαλμός.

Δόξα. Ταῖς τοῦ Σοῦ Ὁσίου...

Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου...

Ἰδιόμελον. Ἦχος β'. Στ. *Ἐλέησόν με, ὁ Θεός...*

Βιώσας Πάτερ Γεννάδιε ἀμέμπτως,* ἐν νήσῳ Κρήτῃ,* τῶν δαιμόνων τὰς φάλαγγας κατέβαλες,* ζῶν εἰς τοὺς αἰῶνας.

Εἶτα οἱ Κανόνες· τῆς Θεοτόκου καί τοῦ Ἁγίου, οὗ ἡ ἀκροστιχίς,
τῶν μέν Τροπαρίων *ΑΝΤΩΝΙΟΣ ΓΕΝΝΑΔΙΩ ΥΜΝΟΝ ΑΔΕΙ,* τῶν δέ Θεοτοκίων *ΘΕΟΤΟΚΟΣ.*

Ὠδή α΄. Ἦχος πλ. δ΄. Ὑγράν διοδεύσας.

Ἀρχήν νῦν ποιούμενος ἀνυμνεῖν,*
Γενναδίου ἀγῶνας,* ἐνθέως τοῦτον παρακαλῶ·*
διάρρηξον πταισμάτων μου τόν ὄγκον,*
ταῖς πρός τόν Κτίστην, Πάτερ, πρεσβείαις σου.

Νομίμως ἀσκήσας ἐπί τῆς γῆς,*
ἀξίως τήν χάριν* ἔλαβες, Πάτερ, θαυματουργεῖν·* ταύτην οὖν χρώμενος νῦν παῦσον*
τόν τῆς ψυχῆς μου πολυκύμαντον τάραχον.

Τρωθείς θείῳ ἔρωτι, τοῦ φθαρτοῦ* ἐμάκρυνας κόσμου,* ἐρημίας
ὡς πολιστής* καί Ἄννης Θεομήτορος τῆς κέλλης,*
ἐν ᾗ ἀσκήσας τόν Βελίαρ κατήσχυνας.

Θεοτοκίον.

Θεοτόκε Παρθένε,
ὁ Ποιητής* ἐν τῇ Σῇ κοιλίᾳ* κατεκένωσεν Ἑαυτόν,*
ὁ πατρικούς κόλπους μή κενώσας,*
σῶσαι θελήσας ὡς Θεός τό ἀνθρώπινον.

Ὠδή γ΄. Οὐρανίας ἁψῖδος.

Ὤφθης ἅγιον στόμα,* πηγάζων ρήματα ἅγια,* δι' ὧν τάς ψυχάς τῶν προσιόντων,* Πάτερ, κατήρδευσας·* οὕτω γενόμενος* σφραγίς κλεινή τοῦ εἰπόντος,* *ἐκ τοῖς κοιλίας σου ρεύσονται ὕδατα.*

Νίκην ἔσχες Βελίαρ* κατατροπώσας τήν δύναμιν,* ἐν τῇ ἐρημίᾳ Ἀκουμίων* ἀγωνιζόμενος,* διό καί

ἔλαβες* παρά Κυρίου τήν χάριν* τοῦ θεραπεύειν νόσο υς·* ὅθεν σοί σπεύδομεν.

Ἱκετεύομεν, Πάτερ,* ἡμῶν τά πάθη καί τραύματα,* σπεῦσον σαῖς ἁγίαις πρεσβείαις,* ταχέως ἴασαι·* ἵνα εὐφημοῦμεν σε,* ὡς μοναζόντων τό κλέος,* ἀσκητῶν δέ ἔρεισμα,* θεῖε Γεννάδιε.

Θεοτοκίον.

Εὐσπλάχνως, Παρθένε,* ἡ τόν Κύριον τέξασα,* σπεῦσον καί λύτρωσαι παντοίων* ἡμᾶς κινδύνων καί θ λίψεων·* σύν Σοί δέ φέρομεν,* πρός Κύριον πρεσβείαν,* Γεννάδιον τόν ἔνδοξον,* Κρήτης τόν ἔκγονον.

Κάθισμα. Ἦχος γ΄. Τὴν ὡραιότητα.

Τὴν ματαιότητα* κόσμου ἐμίσησας* καὶ τὰ οὐράνια* κάλλη ἐπόθησας,* τὰ τῆς σαρκὸς πάθη διό* ἀσκήσει ἀπενέκρωσας,* ἔνδοξε Γεννάδιε,* τῶν Ἀγγέλων συνόμιλε·* ὅθεν καὶ ἰάσεων,* ῥεῖθρα βρύεις τοῖς πίστει σοῦ* τὴν μνήμην ἐκτελοῦσι τὴν θείαν,* Πάτερ ἀξιοθαύμαστε.

ᾨδή δ΄. Εἰσακήκοα Κύριε.

Ὅν ἐπόθησας, Ὅσιε,* σάρκα δι' Ὅν ἔτηξας νῦν τεθέασαι* Παραδείσῳ αὐλιζόμενος·* διό σέ καί ἀπαύστως μακαρίζομεν.

Σάρκαν, Πάτερ, δουλώσας* ἐν τοῖς ἐρήμοις ἐνήσκησας ἐνθεώτατα,* τοῦ λαοῦ δειχθείς θεόσοφος* ὅσιος ποιμήν τε καί διδάσκαλος.

Γεννάδιος ἐδείχθη* ἐπ' ἐσχάτων ἀστήρ καί στύλος ἀκλόνητος,* τό ἅγιον λειπών ἡμῖν* αὐτοῦ καί ἔνθεον παράδειγμα.

Θεοτοκίον.

Θεοτόκε Μαρία,* Ἐκκλησίας ἡ σκέπη καί ἔφορος,* σπεῦσον τά Σά τέκνα ἐπισκέψαι* τά ὑπό τοῦ Βελίαρ κακουχούμενα.

Ὠδή ε΄. Φώτισον ἡμᾶς.

Εὗρες τήν χαράν* ἧν ψυχαῖς ἡμῶν ἐνστάλαξον,* φλεγομένῳ τῷ πυρί τῶν πειρασμῶν,* τάς ἀσθενείας ἀναργύρως ὁ ἰώμενος.

Νίκην ἐφ' ἡμᾶς* τοῖς λειψάνοις σου τοῖς σπεύδουσι* ἐπί πάθους τῆς λαγνείας, ἀγαθέ,* τῇ πρεσβείᾳ σου πρός Κύριον ἐξαίτησαι.

Νέος ἀριστεύς* τοῦ Βελίαρ τροπωσάμενος* τάς πλεκτάνας, ὦ Γεννάδιε, δειχθείς,* ἐν τῷ πόλῳ μετά δόξης νῦν ἀγάλλεσαι.

Θεοτοκίον.

Τιμῶντές Σε, Ἁγνή,* Ὀρθοδόξων τά συστήματα* καί ὑμνοῦντες οὐ παυόμεθα, Σεμνή* τῇ πρεσβείᾳ Σου θαρροῦντες, ὦ Παντάνασσα.

Ὠδή στ΄. Τήν δέησιν ἐκχεῶ.

Ἀνήρ ἐπιθυμιῶν,* νέος ὑπῆλθες τῷ σώματι,* τῷ ζυγῷ τῷ χριστῷ τοῦ Κυρίου,* ἀποῤῥαγεῖς τῶν τοῦ κόσμου ματαίων* καί τοῖς δρυμοῖς φυγαδεύων ἐμάκρυνας* καί μόνος μόνῳ τῷ Θεῷ* νοερῶς ἦσθα συνών καί ἡδόμενος.

Δεόμεθα* οἱ ἐν κινδύνοις καί θλίψεσι,* τῶν δεινῶν ἡμᾶς ἐκλύτρωσον πάντας·* σέ λυτρωτήν γάρ ἐπιγραφόμεθα, ὅτι* παρά Θεοῦ ἠλεήθης, Γεννάδιε,* καί σπεύδεις, Πάτερ, ἐν ταχεῖ* τοῦ θεραπεύσαι ἡμῶν τά νοσήματα.

Ἱκέτευε* ἐκτενῶς, Γεννάδιε,* τόν Θεόν ὑπέρ σῆς γλυκυτάτης,* ἁγιοτόκου, θεοφόρε, πατρίδος* Κρήτης, ἥν διατήρει ἀεί θεοφρούρητον* καί λύτρωσαι ἐκ πειρασμῶν* τούς ἐν ταύτῃ τῇ Πίστει ἐμμέ νοντας.

Θεοτοκίον.

Ὅλον με * νυσταγμῷ ῥαθυμίας* βεβαρημένον, θερμῇ Σου ἱκεσίᾳ* ἔγειρον καί μή δώῃς ὑπνῶσαι* Σόν δοῦλον, Μήτερ Ἁγία, εἰς θάνατον·* προστάτην γάρ καί ὁδηγόν* ἐμῆς ζωῆς Σέ ἐπιγράφομαι, Δέσποινα.

Κοντάκιον. Ἦχος β΄. Τά ἄνω ζητῶν.

Ὡς Μάρτυρα Χριστοῦ* τῇ συνειδήσει δοξάζομεν,* αἰτούμενοι εὐλαβῶς* τήν σήν γενναίαν ἀντίληψιν,* Γεννάδιε σοφέ,* ἥν παράσχου ἡμῖν ἅπασιν,* τοῖς τιμῶσιν εὐλαβῶς* τήν σήν μνήμην, Ὁσιώτατε.* Διό ῥῦσαι ἡμᾶς κινδύνων χαλεπῶν* καί τοῦ πυρός τοῦ αἰωνίου πρεσβείαις σου.

Ὁ Οἶκος.

Ἀστήρ ἀνεφάνης τῆς Κρήτης, θεόφρον, ἐν τῇ Ἀκουμίων ἐρημία ἀγωνισάμενος· ἐκεῖθεν δέ ἀνατείλας, τῷ κόσμῳ αὐγάζεις καί πάντας Ὀ ρθοδόξους λυτροῦσαι, παθῶν καί κινδύνων καί δεινῶν συμπτωμάτων· ὅθεν τιμῶντες σε ἄδομέν σοι τοιαῦτα·

Χαῖρε, Πάτερ, ὁ Βελίαρ τῷ σῷ ἀγῶνι πατάξας·
χαῖρε, μάκαρ, ὁ ἀρετήν καί ἁγνοίαν διδάξας.
Χαῖρε, ἄνθος ὡραιότατον Κρήτης τῆς εὐάνδρου·
χαῖρε, ἀγλάϊσμα τερπνότατον πατρίδος ἁγιοτόκου
.

Χαῖρε, ὁ τῆς Ἀκουμίων ἐρημίας γλυκύς ἐρωδιός·
χαῖρε, ὁ Ὀρθοδόξων προστάτης καί πρός τά ἄνω ὁδηγός.
Χαῖρε, κρῖνον τό ἐν ἐρημίᾳ παραδόξως ἀκμάσαν·
χαῖρε, ὁ εὐφραῖνον τῇ σῇ δόξῃ τήν ὑφ' ἥλιον πᾶσαν.
Χαῖρε, Κουδουμᾶ τῆς Μάνδρας τό περίδοξον βλάστημα·
χαῖρε, αὐταδέλφων Ὁσίων τό ἐκλάμπον ἀνάστημα.
Χαῖρε, Ἄννης τῷ ναΐσκῳ διά βίου διακονήσας·
χαῖρε, ἀπειλάς καινοτόμων ὁμολογίᾳ ἐδαφίσας.
Χαίροις Πάτερ Γεννάδιε.

Συναξάριον.

Τῇ 3η τοῦ αὐτοῦ μηνός, μνήμη τοῦ Ὁσίου Πατρ ός ἡμῶν Γενναδίου τοῦ Κρητός, ἐν Ακουμίοις Ῥεθύμνης ἀσκήσαντος καί ὁσιακῶς τελειωθέντος ἐν ἔτει 1983.

Στίχοι.

*Γεννάδιος Παρθενίου ζηλωτής ἐφάνη,*
*οὗ ἐζήλωσε μεγάλως τόν ἰσάγγελον βίον.*
*Τρίτῃ οὐρανός ἐδέξατο ψυχήν Γενναδίου.*

Ταῖς αὐτοῦ ἁγίαις πρεσβείαις, Χριστέ ὁ Θεὸς, ἐλέησον καί σῶσον ἡμᾶς. Ἀμήν.

Ὠδή ζ'. Παῖδες Ἑβραίων.

Ὡραία πρός Θεόν σή βιοτή ἐφάνη,* Γεννάδιε, τῆς Κρήτης,* γόνε λαμπρέ καί κλέος·* διό Ὀρθοδόξων τό σύστημα τιμᾷ σε* καί σπεύδει ἀνυμνῦσαι σου* ἄσκησιν ἐν ἐρήμῳ.

Ὑμῶν τῶν ἐν δεινοῖς ἐδόθης ἀντιλήπτωρ,* Γεννάδιε Κρητῶν,* θυμίαμα εὐῶδες* πρός Κύριον Θεόν*

πρός Ὅν μή παύεις, Πάτερ,* τοῦ δέεσθαι πᾶσιν ἡμῖν* εἰρήνην ἐπομβρίσαι.

Μεγάλος πρός Θεόν καί μετά μόρον, μάκαρ,* ἐφάνης πρεσβευτής* ὑπέρ τῶν σοῦ τιμώντων* τήν μνήμην τήν σεπτήν,* οὕς σκέπε ταῖς εὐχαῖς σου* καί δώρησαι αὐτοῖς* δόξαν τήν ἐν τῷ πόλῳ.

Θεοτοκίον.

Κυρία Μαριάμ μή παύῃς τοῦ ἐπαίρειν* Σάς χεῖρας πρός Θεόν* Υἱόν Σου καί Δεσπότην,* τοῦ σῶσαι τούς πιστῶς* τιμῶντάς Σε, Παρθένε,* καί εὐγνωμόνως ἄδοντας* τό χαῖρε τοῦ Ἀγγέλου.

Ὠδή η΄. Τόν Βασιλέα.

Ναός καί τάφος* τοῦ θείου Γενναδίου,* ἰατρεῖον πρόκεινται τοῖς πᾶσι·* διό καί εὐσεβούντων* δέχεται τάς δεήσεις.

Ὅσοι ἐν πίστει* εἰλικρινεῖ προσιοῦσι,* τῇ θήκῃ τῶν σεπτῶν σου Λειψάνων,* ψυχῶν τε καί σωμάτων* λαμβάνουσι τήν ῥῶσιν.

Νέοις Ἁγίοις,* Πάτερ, κατετάγης* ἀγῶσι ἱεροῖς καί βίῳ τῷ μονήρει,* διό ἡμῶν προστάτης* καί βοηθός νῦν πέλεις.

Θεοτοκίον.

Ὀμμάτων σκότος,* ψυχῆς ἀορασίαν,* φωταγώγησον Σύ,* φωτός ἀκτίστου Μήτηρ,* τῶν δεομένων* τυχεῖν τοῦ Σοῦ ἐλέους.

Ὠδή θ΄. Κυρίως Θεοτόκον.

Ἁπάσης τῆς Ἑλλάδος* καί Κρήτης, Πάτερ, πέλεις* θερμός προστάτης καί μεσίτης πρός Κύριον,*

διό καί σοῦ δεόμεθα θερμῶς,*
μή παύῃς Τοῦτον εὐχαῖς κατακάμπτοντα.

Δίωξον πᾶσαν πλάνην* ἀπό τῶν εὐσεβούντων* καί Ἐκκλησίας κατάπαυσον σκάνδαλα,* μή διαλείπων, Πάτερ, τοῦ βοᾶν,* Κρήτης τόν οἶκον στερέωσον Κύριε.

Εὐχαῖς σου τάς σειράς μου* τῶν πταισμάτων λῦ σον* καί τό χειρόγραφον, Πάτερ, διάρρηξον* τῆς ἁμαρτίας, τοῦ τήν σήν* ἁγίαν μνήμην τοῖς πᾶσι κηρύττοντος.

Ἴδε μου τήν πτωχείαν*
τοῦ ταῦτα στιχουργοῦντος* καί σαῖς πρεσβείαις πρός Κ ύριον, Ὅσιε,* πλούτισον τήν ἐμήν ψυχήν,* τῶν δωρεῶν καί χαρίτων τοῦ Πνεύματος.

Θεοτοκίον.

Σωτῆραν ἡ τεκοῦσα,* Παρθένε Θεοτόκε,* σύν Γενναδίῳ Κυρίῳ πρεσβεύσατε,*
ἵνα δωρήσῃ πᾶσιν ὡς Θεός,* ἁμαρτημάτων τήν λύσιν καί ἄφεσιν.

Ἐξαποστειλάριον. Γυναῖκες ἀκουτίσθητε.

Ὁσίας Ξένης χαίρεται* τό θεῖον παρεκκλήσιον,* ὅτι κατέχει, σοῦ, Πάτερ,* σεπτῶν Λειψάνων τήν θήκην,* πρός ἥν πιστοί προστρέχομεν* τήν λύσιν ἐξαιτούμενοι* δεινῶν ἡμᾶς καί θλίψεων* καί πειρασμῶν καί κινδύνων* πρόφθασον, Πάτερ, βοῶντες.

Εἰς τούς Αἴνους ἱστῶμεν στίχους δ' καί ψάλλομεν Στιχηρά Προσόμοια. Ἦχος α'. Τῶν οὐρανίων Ταγμάτων.

Τοῦ Παρακλήτου τήν χάριν* λαβών Γεννάδιε,* ἀσκήσεσι καθεῖλες* τόν ἀρχέκακον ὄφιν,* πολιστής τε ἐγένου ἐρημικῶν* τόπων, Πατέρων ὁμότιμε·* διό τήν μνήμην σου ἄσμασιν καί ᾠδαῖς* ἀναμέλποντες τιμῶμεν σου.

Χαίρει ἐν σοί γῆ τῆς Κρήτης,* ἡ σέ βλαστήσασα* καί Ἀκούμια χαρμοσύνως* τούς σο ύς ἀγώνας κηρύττουν* καί πᾶσα Ἐκκλησία ἡ τοῦ Χρισ τοῦ* μακαρίζει σε, Ὅσιε,* ὡς Παρθενίου σοῦ Γέροντος μιμητήν,* οὗ τόν δρόμον ἠκολούθησας.

Ξένης Ὁσίας χορεύει* τέμενος, Ὅσιε,* ὅτι ἐκεῖ ἡ θήκη* σῶν Λειψάνων ὑπάρχει,* πρός ἣν τῶν θλιβομένων σπεύδει χορός,* τοῦ λαβεῖν πᾶσαν ἄνεσιν·* τούτων ὑπάρχεις γάρ δόξα καί ἡ χαρά,* τόν Θεόν ὁ ἱλεούμενος.

Περατωθέντος τοῦ ὕμνου* ὅν σύ προσέφερον,* σ οῦ δέομαι ἐκ καρδίας* τήν ζωήν μου φυλάττειν* ἀπό παντός κινδύνου καί τῆς ζωῆς* τῆς ἀγείρω πρεσβείαις σου* τυχεῖν ἐν πόλῳ, ἐν ὅ μετά τῶν λοιπῶν* συγχορεύεις, ὦ Γεννάδιε.

Δόξα. Ἦχος πλ. β΄.

Ἐκ τῆς Κρήτης ὡς ἄνθος εὐῶδες,* τῇ Ἐκκλησίᾳ προσεφέρθης,* Γεννάδιε μακάριε·* καί τῆς ἀλήκτου ζωῆς τόν στέφανον δεξάμενος,* ὡς βραβεῖον τῶν ἀγώνων σου,* νῦν ἐν οὐρανίοις θαλάμοις* μετά τῶν σῶν Πατέρων* συναγάλλει, ἀξιάγαστε·* μετά Παρθενίου τοῦ πάνυ* καί Εὐμενίου τ ῶν αὐταδέλφων,*

τῶν τοῦ Κουδουμᾶ οἰκιστῶν καί κτιτόρων.*
Διό χαριστήριον ᾠδήν σοί ᾄδοντες,*
ἐν κατανύξει βοῶμεν·* μή ἐπιλάθη, Ἅγιε,
καί ἡμῶν* ταῖς πρός Κύριον πρεσβείαις σου.

Καί νῦν. Θεοτοκίον.

Μακαρίζομέν Σε, Θεοτόκε Παρθένε...

Δοξολογία Μεγάλη καί Ἀπόλυσις.

Μεγαλυνάριον

Ταύτην τε τήν μάνδραν τήν ἱεράν,* τῆς Παραμυθίας,* σκέπει φρούρει, Πάτερ, ἀεί,* Γεννάδιε μάκαρ,* τῆς Κρήτης ὁ προστάτης,* τῶν Ὀρθοδόξων πάντων* ὁ θεῖος πρόμαχος.

Στίχοι·

*Ἄτεχνον ὕμνον Γεννάδιε προσδέχου,*
*ὅν εὐλαβῶς ἐκ πόθου καί ἀγάπης σοί προσφέρω·*
*ἀντίδωρον δέ μέγα ἀντί κόπου, ὅσου,*
*παράσχου τήν τέχνην μαθεῖν τῆς μετανοίας.*


ΑΠΟCΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗC ΕΚΚΛΗCΙΑC ΤΗC ΕΛΛΑΔΟC